## LII [188B., 152D.]

*Πύθια δίς, Νεμέᾳ δίς, Ὀλυμπίᾳ ἐστεφανώθην,*
*οὐ πλάτεϊ νικῶν σώματος ἀλλὰ τέχνᾳ,*
*Ἀριστόδαμος Θράσυος Ἀλεῖος πάλᾳ.*

## LIII [102B., 122D.]

*τῶνδε δι᾿ ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς*
*αἰθέρα δαιομένης εὐρυχόρου Τεγέης,*
*οἳ βούλοντο πόλιν μὲν ἐλευθερίῃ τεθαλυῖαν*
*παισὶ λιπεῖν, αὐτοὶ δ᾿ ἐν προμάχοισι θανεῖν.*

## LIV [103B., 123D.]

*εὐθυμάχων ἀνδρῶν μνησώμεθα, τῶν ὅδε τύμβος,*
*οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν,*
*αἰχμηταὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται*
*Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.*